# 01-10- ΟΡΘΡΟΣ ΠΑΝΑΓΙΑΣ ΓΟΡΓΟΥΠΗΚΟΟΥ

01-10-

† Ἐπιτελοῦμεν τὴν ἐτησίαν Σύναξιν τῆς Ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας τῆς ἐπικαλουμένης Γοργοϋπηκόου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος α΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς θεόβρυτον κρήνην τῶν ἀΰλων χαρίτων σου, τὴν θαυματουργόν σου Εἰκόνα, Θεοτόκε πλουτίσαντες, ἐκ ταύτης τῶν θαυμάτων τὰς ῥοάς, ἀντλοῦμεν δαψιλῶς ὡς ἐξ Ἐδέμ· σὺ γὰρ Γοργοϋπήκοος βοηθός, πέλεις τῶν ἐκβοώντων σοι· Δόξα τοῖς σοῖς χαρίσμασιν Ἁγνή· δόξα τῇ παρθενίᾳ σου· δόξα τῇ πρὸς ἡμᾶς σου ἀνεκφράστῳ προνοίᾳ Ἄχραντε. (τρίς)

Μικρὰ Συναπτή

Ἔτι καὶ ἔτι...

Κύριε, ἐλέησον

Ἀντιλαβοῦ, σῶσον...

Κύριε, ἐλέησον

Τῆς Παναγίας, ἀχράντου...

Σοί, Κύριε.

Ὅτι Σὸν τὸ κράτος...

Ἀμήν.

Καθίσματα

Μετὰ τὴν α΄Στιχολογίαν,

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς πύργον ἀσφαλῆ, ὡς ἐλπίδος κρηπῖδα, καὶ ἔφορον ζωῆς, καὶ κρουνόν συμπαθείας, τὴν θείαν σου προμήθειαν, Θεομῆτορ κτησάμενοι, μεγαλύνομεν, τὴν σὴν ἀνείκαστον χάριν, καὶ γεραίρομεν, Γοργοϋπήκοε Κόρη, τὰ θεῖά σου θαύματα.

Δόξα. Καὶ νῦν.

Ὡς ὤφθης μυστικῶς, λειτουργῷ τῷ τραπέζης, καὶ τοῦτον εὐπειθῆ, ξενοτρόπως εἰργάσω, οὕτως ἡμῖν ἐμφάνηθι, ὡς ὑπέσχου Πανάμωμε, καὶ καταύγασον, τὸν νοῦν ἡμῶν τοῦ εἰδέναι, καὶ πληροῦν ἀεί, τὰ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, ἐντάλματα Ἄχραντε.

Μετά τήν β΄ Στιχολογίαν,

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη ἀληθῶς, τῶν Μοναζόντων ὁ χορός, τὸν ἀόμματον ἰδών, ὀμματωθέντα ὑπὲρ νοῦν, τῇ προϊούσῃ ἐκ τῆς Εἰκόνος σου ἐνεργείᾳ· ὅθεν τὴν λαμπράν, μεγαλουργίαν σου, πόθῳ ἀκλινεῖ, Ἁγνὴ ἐδόξασε, καὶ ὡς πυρσὸν τὰς σὰς

ἐπαγγελίας, πεπλουτηκὼς ἀνακράζει σοι· Μεγάλη ὄντως, ἡ πρὸς ἡμᾶς σοῦ, Γοργοϋπήκοε προμήθεια.

Δόξα. Καὶ νῦν.

*Ἦχος γ'. Τὴν ὡραιότητα.*

Τῆς εὐσπλαγχνίας σου, πλοῦτον τὸν ἄπειρον, καὶ τῶν θαυμάτων σου, βυθὸν τὸν ἄμετρον, τίς ἀνυμνήσει ὡς εἰκός, Παρθένε δεδοξασμένη; σὺ γὰρ ὡς φιλόστοργος, ἀναβλύζεις τοῖς πέρασι, τῆς εὐεργεσίας σου, τὰ γλυκύῤῥοα νάματα, καὶ σῴζεις συμφορῶν καὶ κινδύνων, τοὺς σοὺς ἱκέτας Γοργοϋπήκοε.

*Μετά τόν Πολυέλεον,*

*Ἦχος πλ. δ'. Τό προσταχθέν.*

Τὸ προσταχθὲν ὑπὸ σοῦ μὴ ἐκπεράνας, ὁ τῆς τραπέζης λειτουργὸς Θεογεννῆτορ, τῆς σῆς δόξης πεπείραται καὶ ἔγνω, σοῦ τὴν χάριν ὢ πλήρους χρηστότητός σου θείας φωνῆς! ἀπαύστως γὰρ προνοεῖσθαι ὡς ἀγαθή, ἐπηγγείλω Πανύμνητε, τῶν σοὶ βοώντων πιστῶς, Ἁγνὴ Γοργοϋπήκοε· Χαῖρε, Νύμφη ἀνύμφευτε.

Δόξα. Καὶ νῦν. *Τὸ αὐτό*

*Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.*

*Ἀντίφωνον Α'.*

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. *(δὶς)*

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. *(δὶς)*

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

*Προκείμενον. Ἦχος δ'*

Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ Πατρός σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου. (δὶς)

*Στίχ.:* Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ Πατρός σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.

*Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου*

*Ἦχος β'.*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

*Εὐαγγέλιον· ἐκ τοῦ κατὰ Λουκᾶν*

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν ...

Δόξα σοι, Κύριε, δόξα σοι.

*Καὶ εὐθὺς*

*ὁ Ν' Ψαλμὸς χῦμα.*

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα... *Ἦχος β΄.*

Σήμερον εὐσήμως κροτοῦντες, τῶν σῶν θαυμάτων τὰς δυναστείας, βοῶμέν σοι Πανύμνητε· Γοργοϋπήκοος ὑπέρμαχος, τῇ λογικῇ σου ἔσο Μάνδρᾳ, μέχρι τερμάτων βίου δεόμεθα.

Καὶ νῦν. *Τό αὐτό*

*Στίχ.:* Ἐλεήμον, Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

*Ἰδιόμελον. Ἦχος πλ. β*

Σήμερον ὁ Ἁγιώνυμος Ἄθως, τὸ ἐμφανὲς τῆς Θεοτόκου Ὄρος, προφητικῶς σταλαξάτω γλυκασμόν, καὶ ῥηξάτω εὐφροσύνην· ἡ γὰρ ἔφορος αὐτοῦ καὶ πρύτανις καὶ σκέπη, ἡ μόνη Ἀειπάρθενος, εἰς εὐφημίαν πρόκειται. Ὅθεν καὶ τῶν εὐεργετικῶν αὐτῆς δυνάμεων, τὰς ἀκτῖνας ἁπλώσασα, καταπυρσεύει τοὺς κράζοντας· Φύλαξον ἡμᾶς, Γοργοϋπήκοε Ἄνασσα· Ἰδοὺ γὰρ ὡς νοσσία τῇ σῇ σκέπῃ προστρέχο-

μεν, καὶ διὰ σοῦ σωθῆναι ἐλπίζομεν.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(γ')

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

ΟΙ ΚΑΝΟΝΕΣ

Κανὼν Πρῶτος. Ὠδὴ α'.

Ἦχος α'. Ὁ εἱρμός

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα. (Δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Γαλήνης τὸν πρύτανιν, Γοργοϋπήκοε τέξασα, εἰρήνην καὶ ἄφεσιν, βλύσον μοι ἄνωθεν, καὶ καταύγασον, τὸν νοῦν μου Θεοτόκε, ὡς ἄν σοι ἐπάξιον, μέλψω ἐφύμνιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ὁ πλήρης τῆς δόξης σου, ζωαρχικώτατος Ἄχραντε, χειμάῤῥους ἀπέσταξε, τῇ σῇ Εἰκόνι τερπνῶς· ὅθεν πάντοτε, πηγὰς ζωοδωρήτους, βλυστάνει τῇ ποίμνῃ σου, Γοργοϋπήκοε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ῥημάτων σου Δέσποινα, μὴ συνιεὶς τὸ ἐπάγγελμα, ὁ ἤδη γευσάμενος, τῆς σῆς παιδεύσεως, ἀναδέδεικται, αὐτόπτης καὶ θεράπων, τῆς αὐτεπαγγέλτου σου, ἐπισκιάσεως.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Γνωστῶς τεθεάμεθα, ὡς ὁ Μωσῆς ὁ θεόληπτος, τὴν σὴν φωτοφάνειαν, ὥσπερ ἐν βάτῳ πυρός, κατ᾽ ἐνώπιον, τῆς θείας σου Εἰκόνος, ἑστῶτες καὶ ψάλλοντες, τὰς δυναστείας σου.

Κανὼν Δεύτερος, Ὠδὴ α'.

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Σωτηριώδους εὐδοκίας Ἄχραντε, καὶ ἀποῤῥήτου βουλῆς, θησαυρὸς ἐδείχθης, ὡς καλὴ καὶ ἄμωμος· ὅθεν σκήνωμα πάγκαλον, τοῦ ἀΰλου φωτός σου, τὸ σὸν εἰργάσω ἐκτύπωμα, αἴγλην ἀπαυγάζον χρηστότητος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ὑπερεκβλύζει ὡς πηγὴ ἀκένωτος, θαυματοβρύτους ῥοάς, Κεχαριτωμένη, μόνη Παντευλόγητε, ἡ θεαυγὴς ἐμφέρεια, τῆς ἀχράντου μορφῆς σου, καὶ καταρδεύει ταῖς χάρισι, Κόρη τὸν ἀπόλεκτον κλῆρόν σου.

Δόξα...

Ἐπαγγελίας ὁσημέραι Δέσποινα, τῆς πρὸς ἡμᾶς σου Ἁγνή, τὰς ἀγαθοδότους, δωρεὰς δρεπόμενοι, ἑόρτιόν σοι αἴνεσιν, κατὰ χρέος κροτοῦμεν, καὶ χαρμοσύνως γεραίρομεν, τὰ ὑπερφυῆ σου θαυμάσια.

Καὶ νῦν...

Στεροτύπως ἡ φαιδρὰ ἐμφέρεια, τῆς σῆς Εἰκόνος Ἁγνή, ἀφανῶς γραφεῖσα, ἐμφανῶς ἐξέλαμψεν, ὥσπερ σελήνη πάμφωτος, καὶ ἠὼς

γλυκυτάτη, ἐν τῇ Μονῇ ὡς ηὐδόκησας, τοῦ Δοχειαρίου Πανάμωμε.

Κανὼν Πρῶτος.

ᾨδὴ γ΄. Ἦχος δ΄. Ὁ εἱρμός

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον. (Δὶς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ὁ λόγος σου ἴαμα ἐδείχθη, ὡς δρόσος Ἁγνὴ ἑωθινή, τῷ παιδευθέντι Δέσποινα, τῇ ῥάβδῳ τῶν κριμάτων σου· τὸ γὰρ ὁρᾷν ἀπέλαβε, καὶ τὴν σὴν χάριν ἐκήρυττεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἐφάψασα οἷα περ λυχνίαν, ἑπτάφωτον ὄντως καὶ λαμπράν, τὴν ἱερὰν Εἰκόνα σου, φωταγωγεῖς τοῖς θαύμασι, τὴν Ἐκκλησίαν ἅπασαν, Γοργοϋπήκοε Δέσποινα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Πλήρης ἀγαθῶν πλήρης ἐλπίδος, πλήρης εὐσπλαγχνίας καὶ στοργῆς, ἡ θεία σου ὑπόσχεσις, πέλει Γοργοϋπήκοε, τοῖς ἀφορῶσι πάντοτε, τῇ ἀρωγῇ τῆς προνοίας σου.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἡ χάρις τῆς θείας σου Εἰκόνος, διέδραμεν ὥσπερ ἀστραπή, εἰς τὰ τοῦ κόσμου πέρατα, ἀῤῥώστους θεραπεύουσα, καὶ τὰς ἀτέκνους Ἄχραντε, εὐτέκνους ἀποδεικνύουσα.

Κανὼν Δεύτερος.

Ἦχος πλ. δ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Γνόφῳ ἀΰλῳ καλυφθείς, τῆς θείας ἐπισκοπῆς σου, ὁ αὐτήκοος τῶν σῶν προσρημάτων, πορθμευτὴς διαφανής, τῆς πρὸς ἡμᾶς σου γέγονεν, ἀμάχου προστασίας, Παρθένε Γοργοϋπήκοε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Οἱ ὀφθαλμοί σου γραφικῶς, ὡς Ἐσεβὼν δύο λίμναι, οἰκτιρμῶν πεπληρωμένοι ὁρῶνται, καὶ τὰ χείλη σου Ἁγνή, ὥσπερ σπαρτίον κόκκινον, εἰρήνην αἰωνίαν, Γοργοϋπήκοε φθέγγονται.

Δόξα...

Ῥαγεῖσα Κόρη μυστικῶς, τῇ ῥάβδῳ τῆς χάριτός σου, ὡς τερπνὴ καὶ πνευματέμφορος πέτρα, ἡ ἁγία σου Εἰκών, ὡς ὕδωρ ζῶν ἀλλόμενον, ἰάσεων τὰ ῥεῖθρα, , ἀναβλυστάνει τοῖς πέρασι.

Καὶ νῦν...

Γέρας καὶ στέφος χρυσαυγές, τὸ σὸν Ὁμοίωμα Κόρη, ἡ Μονὴ Δοχειαρίου πλουτοῦσα, εἰς ὀσμὴν μύρων τῶν σῶν, ἀπαύστως προσανέχουσα, τῷ πόθῳ καρδιοῦται, τῆς σῆς θερμῆς ἀγαπήσεως.

Μικρά Συναπτή

Ἔτι καὶ ἔτι...

Κύριε, ἐλέησον

Ἀντιλαβοῦ, σῶσον...

Κύριε, ἐλέησον

Τῆς Παναγίας, ἀχράντου...

Σοί, Κύριε.

Ὅτι Σὺ εἶ ὁ Θεὸς ἡμῶν...

Ἀμήν.

Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Πιστῶν καταφύγιον, ἁμαρτανόντων λιμήν, στειρῶν ἀπολύτρωσις, καὶ ἀσθενῶν ἰατήρ, ἐδείχθης Πανύμνητε· σὺ γὰρ τοὺς τῶν πενήτων, στεναγμοὺς δεχομένη, φέρεις γοργῶς εἰς πέρας, τὰς ἡμῶν παρακλήσεις· διὸ Γοργοϋπήκοε ὑμνοῦμεν τὴν δόξαν σου.

Δόξα.... Καί νῦν, ...τό αὐτό.

Μικρά Συναπτή

Ἔτι καὶ ἔτι...

Κύριε, ἐλέησον

Ἀντιλαβοῦ, σῶσον...

Κύριε, ἐλέησον

Τῆς Παναγίας, ἀχράντου...

Σοί, Κύριε.

Ὅτι Σὺ γὰρ εἶ ὁ Βασιλεύς τῆς εἰρήνης...

Κοντάκιον.

Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ Στρατηγῷ.

Τῇ ἀρωγῇ σου Θεοτόκε καταφεύγοντες, ὡς εἰς λιμένα γαληνότατον σῳζόμεθα, ἐκ κινδύνων πολυτρόπων καὶ νοσημάτων· σὺ γὰρ ὤφθης βοηθὸς Γοργοϋπήκοος, τοῖς πιστῶς προσπτυσσομένοις τὴν Εἰκόνα σου, καὶ βοῶσί σοι· Χαῖρε κόσμου ἀντίληψις.

Ὁ Οἶκος.

Ἄνωθεν ἀοράτως, ἐπιστᾶσα Παρθένε, ὥσπερ ἀγαθὴ εὐηγγελίσω, τῇ δὲ τῇ θεολέκτῳ Μονῇ, ἔφορον εἶναί σε Γοργοϋπήκοον· διό Σου τὸ ἐξαίρετον τῆς προνοίας ὑμνοῦντες βοῶμεν· Χαῖρε, δι' ἧς ὁ Θεὸς σαρκοῦται· χαῖρε, δι' ἧς ὁ ἐχθρὸς νεκροῦται. Χαῖρε, τοῦ φθαρέντος Ἀδὰμ ἡ ἀνάπλασις· χαῖρε, τῶν ἱδρώτων τῆς Εὔας ἀνάπαυσις. Χαῖρε, ὕψος ἀθεώρητον εὐσπλαγχνίας θεϊκῆς· χαῖρε, βάθος. ἀνεξάντλητον χάριτος ζωαρχικῆς. Χαῖρε, ὅτι ἐδείχθης ποταμὸς ἰαμάτων· χαῖρε, ὅτι τυγχάνεις θησαυρὸς χαρισμάτων. Χαῖρε, πολλῶν νοσούντων ὑγίανσις· χαῖρε, στείρων ταχεῖα ἐκλύτρωσις. Χαῖρε, Μονῆς Δοχειαρίου σκέπη· χαῖρε, παντὸς Ἄθω Ὄρους προστάτις. Χαῖρε, κόσμου ἀντίληψις.

Συναξάριον.

Τῇ α' τοῦ μηνός Ὀκτωβρίου, ἀνάμνησιν ποιούμεθα τῆς θαυματουργοῦ εἰκόνος τῆς Παναγίας τῆς Γοργοϋπηκόου, τῆς εὑρισκομένης ἐν τῇ ἱερᾷ Μονῇ Δοχειαρίου τοῦ Ἁγίου Ὄρους.

Στίχοι:

Γοργῶς τῆς φωνῆς εἰσακούειν Παρθένε,

ἡμῶν μὴ ἐλλείπῃς τῶν σοὶ ἀφορώντων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Ἀνανίου.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Ἰωάννης ὁ Κουκουζέλης ὁ ἡδύμολπος, ὁ ἐν τοῖς ὁρίοις τῆς ἐν τῷ Ἄθῳ μεγίστης Λαύρας ἀσκήσας, ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ῥωμανοῦ, τοῦ Ποιητοῦ τῶν Κοντακίων.

Ὁ Ὅσιος Γρηγόριος ὁ Δομέστικος, ὁ ἐν τῇ αὐτῇ μεγίστῃ Λαύρᾳ τοῦ Ἄθου ἀσκήσας, καὶ ἐν χρυσοῦν

νόμισμα παρὰ τῆς Θεοτόκου λαβών, ἐν εἰρήνῃ τελειοῦται.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Ἦχος δ'. ᾠδὴ α'

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

ᾠδὴ γ'

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου ( ὁ β' Χορός ) στεφάνων δόξης ἀξίωσον.

ᾠδὴ δ'

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

ᾠδὴ ε'

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

ᾠδὴ ϛ'

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

ᾠδὴ ζ'

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η'

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

Ὠδὴ θ'. Κανὼν Πρῶτος.

Ἦχος δ'. Ἅπας γηγενής.

Στίχ. Ἄγγελοι, τὸν θεῖόν Σου Χαρακτῆρα, περιδεῶς δοξάζουσι, τοῦτον ὁρῶντες Παρθένε, κεκοσμημένον τῇ δόξῃ.

Ἴδε εὐμενῶς, ἱλέῳ Σου ὄμματι, Γοργοϋπήκοε, εἰς τὴν περιούσιον, ἣν ᾑρετίσω κληρονομίαν Σου, καὶ ἱερὸν ἁγίασμα, ταύτην τὴν Μάνδραν Σου, δεῖξον Κόρη, ἐν ᾗ κατεφύτευσας, ὥσπερ κρίνον τὴν θείαν Εἰκόνα Σου.

Στίχ. Ἄνθρωποι, παρίστανται μετὰ φόβου, τῇ ἱερᾷ Εἰκόνι Σου, καὶ Σὲ ὑμνοῦσι Παρθένε, πᾶσαν καρπούμενοι χάριν.

Μάστιξι τῆς Σῆς, ἀχράντου δυνάμεως, Γοργοϋπήκοε, ἰσχυρῶς ἐλαύνονται, τῶν ἀκαθάρτων πνευμάτων φάλαγγες, καὶ πειρασμῶν

καὶ θλίψεων, ἔφοδος τρέπεται, καὶ ἀγάπης, τοῖς δεσμοῖς συνέχεται, τῆς σῆς Ποίμνης Ἁγνή ἡ συγκρότησις.

Στίχ. Ἄϋλοι, οὐσίαι ἄνω ὑμνοῦσι, τὴν Σὴν μεγαλοπρέπειαν, κάτω ἡμεῖς δὲ Παρθένε, τὴν Σὴν Εἰκόνα τιμῶμεν.

Ὅλη παμφαής, ὡς ἄδυτος ἥλιος, ὅλη ὑπέρλαμπρος, ὡς ἶρις πολύχρωμος, καὶ ὡς ἐλπίδος πυρσὸς ἀκοίμητος, Μορφή Σου ἡ ἐνσώματος, ὁρᾶται Ἄχραντε, τοῖς ἐκ πόθου, ὡς Γοργοϋπήκοον, ἀνυμνοῦσι τὴν Σὴν ἀγαθότητα.

Στίχ. Ἄνωθεν, μὴ παύσῃ τοῦ ἐποπτεύειν, ἡμᾶς Γοργοϋπήκοε, τοῖς ἀκλινῶς πεποιθόσι, τῇ ἀῤῥαγεῖ Σου πρεσβείᾳ.

Ὕψωσον ἡμᾶς, ἐκ πάσης φαυλότητος, Γοργοϋπήκοε, καὶ τοῦ στεναγμοῦ ἡμῶν, ἐν ἐπελθούσῃ ἀνάγκῃ ἄκουσον, καὶ προστασία ἕτοιμος, τῷ τῆς ἐξόδου καιρῷ, καὶ ἐν ὥρᾳ, κρίσεως ἐμφάνηθι, ὡς ὑπέσχου ἡμῖν τοῖς ἱκέταις Σου.

Κανὼν Δεύτερος. Ἦχος πλ. δ΄.

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Στίχ. Μεγάλυνον ψυχή μου, τῆς Γοργοϋπηκόου τὴν ζωηφόρον χάριν.

Ἰσχὺν τοῖς ἀσθενέσι διαπαντός, καὶ τοῖς πάσχουσι Κόρη ἀνάκλησιν, καὶ χαρμονήν, τοῖς κεκακωμένοις ἐν θλιβεροῖς, καὶ πᾶσιν ἀγαλλίασιν, ὡς τῆς αἰωνίου χαρᾶς πηγή, παρέχεις καθ᾽ ἑκάστην, τοῖς πόθῳ ἐκζητοῦσι, Γοργοϋπήκοε τὴν χάριν Σου.

Στίχ. Μεγάλυνον ψυχή μου, τῆς μόνης Θεοτόκου, τὰς θείας ἐνεργείας.

Μωσῆς ἐθαυμαστώθη ἐν τῷ Σινᾷ, κατιδὼν τοῦ Θεοῦ τὰ ὀπίσθια, συμβολικῶς· νῦν ἡμεῖς ὁρῶντες πανευλαβῶς, τῆς σῆς ἀχράντου ὄψεως, πρόσωπον Παρθένε τὸ γαληνόν, Εἰκόνι γεγραμμένον, πληρούμεθα ἐνθέως, τῆς προϊούσης ἐκ Σοῦ χάριτος.

Στίχ. Μεγάλυνον ψυχή μου, Πατέρα Λόγον Πνεῦμα, τὴν μίαν Θεαρχίαν.

Ὁ πλούσιος κρατήρ Σου τῶν ἀγαθῶν, τῇ Μονῇ Σου δαψιλῶς Πανάμωμε, ἐκπλημμυρεῖ· τρέφεις γὰρ καὶ θάλπεις διηνεκῶς, ἡμᾶς Γοργοϋπήκοε· τί οὖν Σοι προσφέρομεν ὡς εἰκός; ἀλλ᾽ ἡ γνησίαν πίστιν, διάπυρόν τε πόθον, καὶ βίον ἄδολον Θεόνυμφε.

Στίχ. Μεγάλυνον ψυχή μου, τὴν ἡμῶν προστάτιν, καὶ φύλακα καὶ ῥύστιν, τὴν Ἄχραντον Παρθένον.

Ὑψόθεν κᾀμοὶ νεῦσον ὡς ἀγαθή, καὶ τὴν ἄμαχον τεῖνόν μοι χεῖρά Σου, ἐκ τοῦ βυθοῦ, ἕλκουσά με Ἄχραντε τῶν παθῶν· σὲ γὰρ θερμὴν ἀντίληψιν, καὶ γλυκεῖαν ἔχω ἀναψυχήν, καὶ διὰ Σοῦ σωθῆναι, ἐλπίζω Θεοτόκε, ὁ τὸν παρόντα πλέξας ὕμνον Σοι.

Καταβασία

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις

παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

*Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις*

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

*Ἐξαποστειλάριον.*

*Ἦχος γ´ Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Ὡς θησαυρὸν ἐλέους, καὶ τῶν πιστῶν καταφυγή, Γοργοϋπήκοε Κόρη, πάσης ἀνάγκης καὶ ὀργῆς, ῥῦσαι τοὺς πίστει τιμῶντας, ὡς τοῦ Θεοῦ σὲ Μητέρα.

*Ἕτερον.*

*Ἦχος β´ Γυναῖκες ἀκουτίσθητε.*

Μονὴ ἡ περιώνυμος, Δοχειαρίου σκίρτησον, κατέχουσα ἐν τοῖς κόλποις, ὡς πρυτανεῖον χαρίτων, Εἰκόνα τὴν πανσέβαστον, τῆς μόνης Θεομήτορος, ἧς τὰς δυνάμεις βλέπουσα, ἀνύμνησον εὐχαρίστως, τὴν σὲ ἀπαύστως φρουροῦσαν.

ΑΙΝΟΙ ΗΧΟΣ Α´

*Ἦχος α´.*

*Τῶν οὐρανίων ταγμάτων.*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἀσματικῶς συνδραμόντες πανηγυρίσωμεν, οἱ τῆς Μητρὸς τοῦ Λόγου, ἀγαπῶντες τὴν δόξαν. Ἰδοὺ γὰρ πλήρης δόξης πλήρης φωτός, πλήρης χάριτος ἔλαμψεν, ἡ τῶν ἀῤῥήτων θαυμάτων μνήμη αὐτῆς, τοὺς πιστοὺς καθαγιάζουσα.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἀγαλλιάσθω εὐθύμως Δοχειαρίου Μονή, ὡς Ἀμαλθείας κέρας, καὶ θεόῤῥυτον φρέαρ, Εἰκόνα κεκτημένη τὴν εὐκλεῆ, τῆς Ἁγνῆς Θεομήτορος, ἐξ ἧς τρυφὴν καρπουμένη πνευματικήν, τὴν Θεοτόκον δοξαζέτω ἀεί.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Πεποικιλμένη Παρθένε ὑπερφυέσιν αὐγαῖς, γοργῶς ἀεὶ προφθάνεις, πανταχοῦ καλουμένη, καὶ ῥύῃ συμπτωμάτων ἐκ δυσχερῶν, πειρασμῶν τε καὶ θλίψεων, Γοργοϋπήκοε Κόρη τοὺς εὐσεβῶς, προσιόντας τῇ πρεσβείᾳ σου.

*Στίχ.* Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τὴν μεγαλόδωρον χάριν καὶ πολυχεύμονα, τῆς σῆς προμηθεστάτης, πρὸς ἡμᾶς προστασίας, ᾠδαῖς Γοργοϋπήκοε μυστικαῖς, μεγαλύνομεν πάντοτε, ἀλλὰ μὴ παύσῃ Παρθένε ἀποπληροῦν, τὴν πρὸς ἡμᾶς ἐπαγγελίαν σου.

Δόξα... Καὶ νῦν.... *Ἦχος πλ. α´.*

Τῶν δωρεῶν σου οἱ κρουνοί, Θεοτόκε πελαγίζοντες, τῆς Ἐκκλησίας τὰς αὔλακας μεθύσκουσι· σὺ

γὰρ ὡς ποταμὸς τοῦ Θεοῦ, οὐ μόνον τὴν τῶν πρωτοτόκων εὐφραίνεις πάλιν, ἀλλὰ καὶ τὴν περίγειον λῆξιν, πολλαχῶς εὐεργετεῖς. Ὢ τῆς θερμῆς ἐπισκοπῆς σου! πᾶσι γὰρ ὀξέως βοηθεῖς, ἐπικουφίζουσα τῶν καρδιῶν τὸν πόνον. Διὸ Ὑπερύμνητε, τὴν φωνὴν ἡμῶν ἐνωτίσθητι, καὶ σῶσον τὴν ποίμνην σου, πάσης περιστάσεως.

Δοξολογία Μεγάλη
Ἦχος πλ. α΄

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον.

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Ὡς θεόβρυτον κρήνην τῶν ἀΰλων χαρίτων σου, τὴν θαυματουργόν σου Εἰκόνα, Θεοτόκε πλουτίσαντες, ἐκ ταύτης τῶν θαυμάτων τὰς ῥοάς, ἀντλοῦμεν δαψιλῶς ὡς ἐξ Ἐδέμ· σὺ γὰρ Γοργοϋπήκοος βοηθός, πέλεις τῶν ἐκβοώντων σοι· Δόξα τοῖς σοῖς χαρίσμασιν Ἁγνή· δόξα τῇ παρθενίᾳ σου· δόξα τῇ πρὸς ἡμᾶς σου ἀνεκφράστῳ προνοίᾳ Ἄχραντε.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ
ΑΝΤΙΦΩΝΑ ( τῆς ἑορτῆς)
Ἀντίφωνον Α'
Ἦχος β'.

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ'

Ἦχος α΄.

Στίχ. α΄. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς θεόβρυτον κρήνην τῶν ἀΰλων χαρίτων σου, τὴν θαυματουργόν σου Εἰκόνα, Θεοτόκε πλουτίσαντες, ἐκ ταύτης τῶν θαυμάτων τὰς ῥοάς, ἀντλοῦμεν δαψιλῶς ὡς ἐξ Ἐδέμ· σὺ γὰρ Γοργοϋπήκοος βοηθός, πέλεις τῶν ἐκβοώντων σοι· Δόξα τοῖς σοῖς χαρίσμασιν Ἁγνή· δόξα τῇ παρθενίᾳ σου· δόξα τῇ πρὸς ἡμᾶς σου ἀνεκφράστῳ προνοίᾳ Ἄχραντε.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς.

Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς θεόβρυτον κρήνην τῶν ἀΰλων χαρίτων σου, τὴν θαυματουργόν σου Εἰκόνα, Θεοτόκε πλουτίσαντες, ἐκ ταύτης τῶν θαυμάτων τὰς ῥοάς, ἀντλοῦμεν δαψιλῶς ὡς ἐξ Ἐδέμ· σὺ γὰρ Γοργοϋπήκοος βοηθός, πέλεις τῶν ἐκβοώντων σοι· Δόξα τοῖς σοῖς χαρίσμασιν Ἁγνή· δόξα τῇ παρθενίᾳ σου· δόξα τῇ πρὸς ἡμᾶς σου ἀνεκφράστῳ προνοίᾳ Ἄχραντε.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός, (ὁ β΄ χορός) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς θεόβρυτον κρήνην τῶν ἀΰλων χαρίτων σου, τὴν θαυματουργόν σου Εἰκόνα, Θεοτόκε πλουτίσαντες, ἐκ ταύτης τῶν θαυμάτων τὰς ῥοάς, ἀντλοῦμεν δαψιλῶς ὡς ἐξ Ἐδέμ· σὺ γὰρ Γοργοϋπήκοος βοηθός, πέλεις τῶν ἐκβοώντων σοι· Δόξα τοῖς σοῖς χαρίσμασιν Ἁγνή· δόξα τῇ παρθενίᾳ σου· δόξα τῇ πρὸς ἡμᾶς σου ἀνεκφράστῳ προνοίᾳ Ἄχραντε.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον.

Ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ Στρατηγῷ.

Τῇ ἀρωγῇ σου Θεοτόκε καταφεύγοντες, ὡς εἰς λιμένα γαληνότατον σῳζόμεθα, ἐκ κινδύνων πολυτρόπων καὶ νοσημάτων· σὺ γὰρ ὤφθης βοηθὸς Γοργοϋπήκοος, τοῖς πιστῶς προσπτυσσομένοις τὴν Εἰκόνα σου, καὶ βοῶσί σοι· Χαῖρε κόσμου ἀντίληψις.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπόστολος τῆς Θεοτόκου

(21 Νοεμβρ. Εβρ. Θ΄ 1-7)

Προκείμενον. Ἦχος γ´

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα (θ' 1-7)

Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας τό τε Ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς διαθήκης, ὑπεράνω· δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Ἀλληλούϊα. (γ´) Ἦχος πλ. β´.

Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Εὐαγγέλιον ζήτει τῇ κα´ Νοεμβρίου

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως
Ἀντί τοῦ Ἄξιον ἐστίν.
Καταβασία

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Κοινωνικὸν:

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

ἦχος β'

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β´

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων

Καλλιτεχνικὴ ἐπιμέλεια

ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη

Ἱεροψάλτη

στὸν Ι.Ν. Ἁγίου Γεωργίου

Κουλούρας Βέροιας.